ΟΔ. Βρομίου δὲ πῶμ᾽ ἔχουσιν, ἀμπέλου ῥοάς;
ΣΕΙ. ἥκιστα· τοιγὰρ ἄχορον οἰκοῦσι χθόνα.
ΟΔ. φιλόξενοι δὲ χὤσιοι περὶ ξένους;
ΣΕΙ. γλυκύτατά φασι τὰ κρέα τοὺς ξένους φορεῖν.
ΟΔ. τί φής; βορᾷ χαίρουσιν ἀνθρωποκτόνῳ;
ΣΕΙ. οὐδεὶς μολὼν δεῦρ᾽ ὅστις οὐ κατεσφάγη.
— — — — — — — — —
ΟΔ. αὐτὸς δὲ Κύκλωψ ποῦ ᾽στιν; ἦ δόμων ἔσω;
ΣΕΙ. φροῦδος πρὸς Αἴτνῃ θῆρας ἰχνεύων κυσίν.
ΟΔ. οἶσθ᾽ οὖν ὃ δρᾶσον, ὡς ἀπαίρωμεν χθονός;
ΣΕΙ. οὐκ οἶδ᾽, Ὀδυσσεῦ· πᾶν δέ σοι δρῴημεν ἄν.
ΟΔ. ὅδησον ἡμῖν σῖτον, οὗ σπανίζομεν.
ΣΕΙ. οὐκ ἔστιν, ὥσπερ εἶπον, ἄλλο πλὴν κρέας.
ΟΔ. ἀλλ᾽ ἡδὺ λιμοῦ καὶ τόδε σχετήριον.
ΣΕΙ. καὶ τυρὸς ὀπίας ἔστι καὶ βοὸς γάλα.
ΟΔ. ἐκφέρετε· φῶς γὰρ ἐμπολήμασιν πρέπει.
ΣΕΙ. σὺ δ᾽ ἀντιδώσεις, εἰπέ μοι, χρυσὸν πόσον;
ΟΔ. οὐ χρυσόν, ἀλλὰ πῶμα Διονύσου φέρω.
ΣΕΙ. ὦ φίλτατ᾽ εἰπών, οὗ σπανίζομεν πάλαι.
ΟΔ. καὶ μὴν Μάρων μοι πῶμ᾽ ἔδωκε, παῖς θεοῦ.
ΣΕΙ. ὃν ἐξέθρεψα ταῖσδ᾽ ἐγώ ποτ᾽ ἀγκάλαις;
ΟΔ. ὁ Βακχίου παῖς, ὡς σαφέστερον μάθῃς.
ΣΕΙ. ἐν σέλμασι νεώς ἐστιν, ἢ φέρεις σύ νιν;
ΟΔ. ὅδ᾽ ἀσκός, ὃς κεύθει νιν· εἰσορᾷς, γέρον;
ΣΕΙ. οὗτος μὲν οὐδ᾽ ἂν τὴν γνάθον πλήσειέ μου.
— — — — — — — — —
ΟΔ. ναὶ δὶς τόσον πῶμ᾽ ὅσον ἂν ἐξ ἀσκοῦ ῥυῇ.
ΣΕΙ. καλήν γε κρήνην εἶπας ἡδεῖάν τ᾽ ἐμοί.
ΟΔ. βούλει σε γεύσω πρῶτον ἄκρατον μέθυ;
ΣΕΙ. δίκαιον· ἦ γὰρ γεῦμα τὴν ὠνὴν καλεῖ.
ΟΔ. καὶ μὴν ἐφέλκω καὶ ποτῆρ᾽ ἀσκοῦ μέτα.
ΣΕΙ. φέρ᾽ ἐγκάναξον, ὡς ἀναμνησθῶ πιών.

---

123. *ῥοάς*] Reiskius, *ῥοαῖς* libri. 131. *δρᾶσον*] Canterus, *δράσεις* libri. 136. *Διὸς γάλα* Athenaeus. 145. *εἰσορᾷς*] Hartungius, *ὡς ὁρᾷς* libri. 148. *τ᾽*] Boissonadius, *γ᾽* libri. 152. *ἐγκάναξον*] Piersonus, *ἐκπάταξον* libri.